**Plutarch, *Antony*, 58**

| | |
|---|---|
| Τίτιος δὲ καὶ Πλάγκος, Ἀντωνίου φίλοι τῶν ὑπατικῶν, ὑπὸ Κλεοπάτρας προπηλακιζόμενοι ʽπλεῖστα γὰρ ἠναντιώθησαν αὐτῇ περὶ τοῦ συστρατεύειν᾽ ἀποδράντες ᾤχοντο πρὸς Καίσαρα, καὶ περὶ τῶν Ἀντωνίου διαθηκῶν ἐγένοντο μηνυταί, τὰ γεγραμμένα συνειδότες. | ὁ ὑπατικός (ἀνήρ) : consul<br>προπηλακίζω : ὑβρίζω<br>ἐναντιόομαι : ἐναντίον πράττω ἤ λέγω<br>ἀποδιδράσκω : ἀποβαίνω<br>οἴχομαι : βαίνω, ἔρχομαι<br>ἡ διαθήκη : τὰ βουλόμενα ἀνθρώπου ἀποθνήσκοντος περὶ τῶν χρημάτων αὐτοῦ<br>ὁ μηνυτής, οῦ : ἄγγελοι<br>συνοῖδα : γιγνώσκω |
| ἀπέκειντο δ᾽ αὗται παρὰ ταῖς Ἑστιάσι παρθένοις, καὶ Καίσαρος αἰτοῦντος οὐκ ἔδωκαν: εἰ δὲ βούλοιτο λαμβάνειν, ἐλθεῖν αὐτὸν ἐκέλευον. ἔλαβεν οὖν ἐλθών: καὶ πρῶτον μὲν αὐτὸς ἰδίᾳ τὰ γεγραμμένα διῆλθε, καὶ παρεσημήνατο τόπους τινὰς εὐκατηγορήτους: ἔπειτα τὴν βουλὴν ἀθροίσας ἀνεγίνωσκε, τῶν πλείστων ἀηδῶς ἐχόντων. [4] ἀλλόκοτον γὰρ ἔδοξεν εἶναι καὶ δεινόν, εὐθύνας τινὰ διδόναι ζῶντα περὶ ὧν ἐβουλήθη γενέσθαι μετὰ τὴν τελευτήν. ἐπεφύετο δὲ τῶν γεγραμμένων μάλιστα τῷ περὶ τῆς ταφῆς. ἐκέλευε γὰρ αὐτοῦ τὸ σῶμα, κἂν ἐν Ῥώμῃ τελευτήσῃ, δι᾽ ἀγορᾶς πομπευθὲν εἰς Ἀλεξάνδρειαν ὡς Κλεοπάτραν ἀποσταλῆναι. | Δίδωμι : παρέχω<br><br>ἰδίᾳ ↔ πρὸς τὸν δῆμον<br>παρασημαίνω : προσέχω τὸν νοῦν εἰς τι<br>εὐκατηγόρητος, ον : ῥαδίως κατηγορούμενος, αἰτιούμενος<br>ἀθροίζω : συλλέγω, καλέω<br>ἀηδῶς ἔχω : ἔχω ἀχαρίστως<br>ἀλλόκοτος, ον : ἄτοπος<br>εὐθύνω : καλέω τινα ὡς λόγον παρασχήσοντα περὶ αἰτίας τινος (λέγεται μάλιστα περὶ τῶν βλαβῶν)<br>ἐπιφύω + δοτική : γίγνομαι ἐπί τινι<br><br>πομπεύω : ἄγω ἐν πόμπῇ<br>ἀποστέλλω : πέμπω |

**Homer, *Odissey*, XII 245**

| | |
|---|---|
| τόφρα δέ μοι Σκύλλη γλαφυρῆς ἐκ νηὸς ἑταίρους<br>ἓξ ἕλεθ᾽, οἳ χερσίν τε βίηφί τε φέρτατοι ἦσαν. | Τόφρα : ἐν δὲ τούτῳ<br>Γλαφυρός, ά, όν : ἔχων κόλπον τινα, κοῖλος<br>Βίηφι : βίᾳ |

**Euripides, *Cyclopes*, 566-571; 663-678**

| | |
|---|---|
| **Κύκλωψ**<br>λάβ᾽, ὦ ξέν᾽, αὐτὸς οἰνοχόος τέ μοι γενοῦ. | Οἰνοχόος : ὑπερήτης τις ὃς χεῖ τὸν οἶνον |
| **Ὀδυσσεύς**<br>γιγνώσκεται γοῦν ἄμπελος τἠμῇ χερί. | |
| **Κύκλωψ**<br>φέρ᾽ ἔγχεόν νυν. | ἔγχεον : imp. 2 p.s. |
| **Ὀδυσσεύς**<br>ἐγχέω, σίγα μόνον. | |
| **Κύκλωψ**<br>Χαλεπὸν τόδ᾽ εἶπας, ὅστις ἂν πίνῃ πολύν. | Εἶπας : εἶπες |
| **Ὀδυσσεύς**<br>ἰδού: λαβὼν ἔκπιθι καὶ μηδὲν λίπῃς:<br>Συνεκθανεῖν δὲ σπῶντα χρὴ τῷ πώματι. | ἔκπιθι : ἔκπιε<br>Σπάω : ἕλκω (μεταφορικῶς : ὁ μεθύων) |
| **Κύκλωψ**<br>Παπαῖ, σοφόν γε τὸ ξύλον τῆς ἀμπέλου.<br>[…] | |
| **Κύκλωψ**<br>ὤμοι, κατηνθρακώμεθ᾽ ὀφθαλμοῦ σέλας. | Κατανθρακόω : κατακάω<br>Τὸ σέλας, αος : τὸ φῶς, φωτός |
| **Χορός** | |

| | |
|---|---|
| μεθύων κατέπεσες ἐς μέσους τοὺς ἄνθρακας; | ὁ ἄνθραξ, ακος :  |
| **Κύκλωψ**<br>Οὖτίς μ᾽ ἀπώλεσ᾽. | Οὖτις : οὐδείς |
| **Χορός**<br>Οὐκ ἄρ᾽ οὐδείς <σ᾽> ἠδίκει. | ἀδικέω : πράττω ἀδίκως, οὐ δικαίως |
| **Κύκλωψ**<br>Οὖτίς με τυφλοῖ βλέφαρον. | Τυφλόω : ποιέω τι τυφλόν<br>Τὸ βλέφαρον, ου :  |
| **Χορός**<br>Οὐκ ἄρ᾽ εἶ τυφλός. | |
| **Κύκλωψ**<br>†ὡς δὴ σύ†. | |
| **Χορός**<br>Καὶ πῶς σ᾽ οὔτις ἂν θείη τυφλόν; | |
| **Κύκλωψ**<br>σκώπτεις. ὁ δ᾽ Οὖτις ποῦ 'στιν; | Σκώπτω : γελάω |
| **Χορός**<br>Οὐδαμοῦ, Κύκλωψ. | |
| **Κύκλωψ**<br>ὁ ξένος ἵν᾽ ὀρθῶς ἐκμάθῃς μ᾽ ἀπώλεσεν,<br>ὁ μιαρός, ὅς μοι δοὺς τὸ πῶμα κατέκλυσεν. | Μιαρός, ά, όν : μισητός, δεινός<br>Τὸ πῶμα : τὸ πινόμενον<br>Κατακλύζω : διαφθείρω ῥέων πάντα ὡς κῦμα |
| **Χορός**<br>Δεινὸς γὰρ οἶνος καὶ παλαίεσθαι βαρύς. | Παλαίω :  |